[illegible]

σεύατ᾽ ἔπειτ᾽ ἀνὰ ἄστυ ποσὶ κραιπνοῖσι πεποιθώς.
>※ ὡς δ᾽ ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ,
>※ δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων,
※ εἰωθὼς λούεσθαι ἐϋρρεῖος ποταμοῖο,
※ κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
> ὤμοις ἀΐσσονται· ὁ δ᾽ ἀγλαΐηφι πεποιθώς,
※ ῥίμφά ἑ γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν ἵππων·
> ὣς υἱὸς Πριάμοιο Πάρις κατὰ Περγάμου ἄκρης
τεύχεσι παμφαίνων ὥστ᾽ ἠλέκτωρ ἐβεβήκει
καγχαλόων, ταχέες δὲ πόδες φέρον· αἶψα δ᾽ ἔπειτα
Ἕκτορα δῖον ἔτετμεν ἀδελφεόν, εὖτ᾽ ἄρ᾽ ἔμελλε
στρέψεσθ᾽ ἐκ χώρης ὅθι ᾗ ὀάριζε γυναικί.
τὸν πρότερος προσέειπεν Ἀλέξανδρος θεοειδής·
ἠθεῖ᾽ ἦ μάλα δή σε καὶ ἐσσύμενον κατερύκω
δηθύνων, οὐδ᾽ ἦλθον ἐναίσιμον ὡς ἐκέλευες.
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κορυθαίολος Ἕκτωρ·
δαιμόνι᾽ οὐκ ἄν τίς τοι ἀνήρ, ὃς ἐναίσιμος εἴη,
ἔργον ἀτιμήσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι·
ἀλλὰ ἑκὼν μεθιεῖς τε καὶ οὐκ ἐθέλεις· τὸ δ᾽ ἐμὸν κῆρ
ἄχνυται ἐν θυμῷ, ὅθ᾽ ὑπὲρ σέθεν αἴσχε᾽ ἀκούω
πρὸς Τρώων, οἳ ἔχουσι πολὺν πόνον εἵνεκα σεῖο.
ἀλλ᾽ ἴομεν· τὰ δ᾽ ὄπισθεν ἀρεσσόμεθ᾽, αἴ κέ ποθι Ζεὺς
δώῃ ἐπουρανίοισι θεοῖς αἰειγενέτῃσι
κρητῆρα στήσασθαι ἐλεύθερον ἐν μεγάροισιν,
ἐκ Τροίης ἐλάσαντας ἐϋκνήμιδας Ἀχαιούς.

[illegible]

παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως, τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ ἐκ τοῦ Νικάνορος περὶ στιγμῆς.

Ζ

[illegible]

ΙΛΙΑΔΟΣ Η

Ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ.
τῷ δ' ἅμ' Ἀλέξανδρος κί' ἀδελφεός· ἐν δ' ἄρα θυμῷ
ἀμφότεροι μέμασαν πολεμίζειν ἠδὲ μάχεσθαι.
ὡς δὲ θεὸς ναύτῃσιν ἐελδομένοισιν ἔδωκεν
οὖρον, ἐπεί κε κάμωσιν ἐϋξέστῃς ἐλάτῃσι
πόντον ἐλαύνοντες, καμάτῳ δ' ὑπὸ γυῖα λέλυνται·
ὣς ἄρα τὼ Τρώεσσιν ἐελδομένοισι φανήτην.
ἔνθ' ἑλέτην ὁ μὲν υἱὸν Ἀρηϊθόοιο ἄνακτος
Ἄρνῃ ναιετάοντα Μενέσθιον, ὃν κορυνήτης
γείνατ' Ἀρηΐθοος καὶ Φυλομέδουσα βοῶπις·
Ἕκτωρ δ' Ἠϊονῆα βάλ' ἔγχεϊ ὀξυόεντι
αὐχέν' ὑπὸ στεφάνης εὐχάλκου, λῦσε δὲ γυῖα.
Γλαῦκος δ' Ἱππολόχοιο πάϊς Λυκίων ἀγὸς ἀνδρῶν
Ἰφίνοον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην
Δεξιάδην, ἵππων ἐπιάλμενον ὠκειάων,
ὦμον· ὁ δ' ἐξ ἵππων χαμάδις πέσε, λύντο δὲ γυῖα.
τοὺς δ' ὡς οὖν ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη
Ἀργείους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ·
βῆ ῥα κατ' Οὐλύμποιο καρήνων ἀΐξασα
Ἴλιον εἰς ἱερήν· τῇ δ' ἀντίος ὤρνυτ' Ἀπόλλων
Περγάμου ἐκκατιδών, Τρώεσσι δὲ βούλετο νίκην·
ἀλλήλοισι δὲ τώ γε συναντέσθην παρὰ φηγῷ.
τὴν πρότερος προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
τίπτε σὺ δ' αὖ μεμαυῖα Διὸς θύγατερ μεγάλοιο
ἦλθες ἀπ' Οὐλύμποιο, μέγας δέ σε θυμὸς ἀνῆκεν·

Γείνατ' Ἀρηΐθοος: [illegible]

Αὐχέν' ὑπὸ στεφάνης: [illegible]

Δεξιάδην: [illegible]

Ἀλλήλοισι δέ: [illegible]

† ἑτεραλκέα· οὐ παρ' ὀλίγον [illegible] ἀλλ' εἴ μοί τι πίθοιο [illegible] ὑμῖν ἀθανάτῃσι [illegible]

ἦ ἵνα δὴ Δαναοῖσι μάχης ἑτεραλκέα νίκην
δῷς; ἐπεὶ οὔ τι Τρῶας ἀπολλυμένους ἐλεαίρεις.
ἀλλ' εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη·
νῦν μὲν παύσωμεν πόλεμον καὶ δηϊοτῆτα
σήμερον· ὕστερον αὖτε μαχήσοντ' εἰς ὅ κε τέκμωρ
Ἰλίου εὕρωσιν, ἐπεὶ ὣς φίλον ἔπλετο θυμῷ
ὑμῖν ἀθανάτῃσι, διαπραθέειν τόδε ἄστυ.
τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
ὧδ' ἔστω ἑκάεργε· τὰ γὰρ φρονέουσα καὶ αὐτὴ
ἦλθον ἀπ' Οὐλύμποιο μετὰ Τρῶας καὶ Ἀχαιούς.
ἀλλ' ἄγε, πῶς μέμονας πόλεμον καταπαυσέμεν ἀνδρῶν;
τὴν δ' αὖτε προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
Ἕκτορος ὄρσωμεν κρατερὸν μένος ἱπποδάμοιο,
ἤν τινά που Δαναῶν προκαλέσσεται οἰόθεν οἶος
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι,
οἱ δέ κ' ἀγασσάμενοι χαλκοκνήμιδες Ἀχαιοὶ
οἶον ἐπόρσειαν πολεμίζειν Ἕκτορι δίῳ.
ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.
τῶν δ' Ἕλενος Πριάμοιο φίλος παῖς σύνθετο θυμῷ
βουλήν, ἥ ῥα θεοῖσιν ἐφήνδανε μητιόωσι·
στῆ δὲ παρ' Ἕκτορ' ἰὼν καί μιν πρὸς μῦθον ἔειπεν·
Ἕκτορ υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε,
ἦ ῥά νύ μοί τι πίθοιο; κασίγνητος δέ τοί εἰμι·
ἄλλους μὲν κάθισον Τρῶας καὶ πάντας Ἀχαιούς,
αὐτὸς δὲ προκάλεσσαι Ἀχαιῶν ὅς τις ἄριστος

† ἤν τινά που Δαναῶν· ὁ σύνδεσμος [illegible] ὅτι γὰρ προκαλέσεται [illegible] πρὸς τὸ σχῆμα μονομαχίας μόνος ἀντὶ τοῦ μόνος πρὸς μόνον.

οἱ δέ κ' ἀγασσάμενοι· [illegible]

τῶν δ' Ἕλενος Πριάμοιο· ὅτι μαντικὸς [illegible]

[illegible] παρακειμένας δάφνας [illegible]

† ἐπισπεῖν: ὡς ἐκπλεῖν μόνον· ἄλλων γὰρ τὸ ἐπὶ ἀπαρέμφατον· πᾶν δὲ ἀπαρέμφατον σὺν τῷ θέτῃ φυλάσσει τὸν τόνον. ὣς γὰρ ἐγὼν: αὕτη ἡ διάθεσις μαντικὸς αὐτὸς ὢν ἢ καὶ ὁ ἑρμηνεὺς ἐκλαμβάνεται: — μέσον δουρὸς ἑλών: μέσου τοῦ δόρατος λαβόμενος· πρὸς ἔνδειξιν τοῦ μὴ πρὸς πολεμικὴν χρῆσιν ἔχειν αὐτὸ ἀλλὰ πρὸς ἔμφασιν τοῦ διαλέγεσθαι· ἐπεὶ πᾶν μέσον λαβὼν τὸ δόρυ: —

ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι·
οὐ γάρ πώ τοι μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν·
— ὣς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν αἰειγενετάων·
ὣς ἔφαθ'· Ἕκτωρ δ' αὖτ' ἐχάρη μέγα μῦθον ἀκούσας·
καί ῥ' ἐς μέσον ἰὼν Τρώων ἀνέεργε φάλαγγας·
μέσου δουρὸς ἑλών· οἳ δ' ἱδρύνθησαν ἅπαντες·
κὰδ δ' Ἀγαμέμνων εἷσεν ἐϋκνήμιδας Ἀχαιούς·
κὰδ δ' ἄρ' Ἀθηναίη τε καὶ ἀργυρότοξος Ἀπόλλων
ἑζέσθην· ὄρνισιν ἐοικότες αἰγυπιοῖσι·
φηγῷ ἐφ' ὑψηλῇ πατρὸς Διὸς αἰγιόχοιο
ἀνδράσι τερπόμενοι· τῶν δὲ στίχες εἵατο πυκναί·
ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πεφρικυῖαι· (γρ. καὶ βεβριθυῖαι)
οἵη δὲ ζεφύροιο ἐχεύατο πόντον ἔπι φρὶξ
ὀρνυμένοιο νέον· μελάνει δέ τε πόντος ὑπ' αὐτῆς·
τοῖαι ἄρα στίχες εἵατ' Ἀχαιῶν τε Τρώων τε
ἐν πεδίῳ· Ἕκτωρ δὲ μετ' ἀμφοτέροισιν ἔειπε·
κέκλυτέ μευ Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί·
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·
ὅρκια μὲν Κρονίδης ὑψίζυγος οὐκ ἐτέλεσσεν·
ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροισι·
εἰς ὅ κεν ἢ ὑμεῖς Τροίην εὔπυργον ἕλητε·
ἢ αὐτοὶ παρὰ νηυσὶ δαμείετε ποντοπόροισιν·
ὑμῖν μὲν γὰρ ἔασιν ἀριστῆες Παναχαιῶν·
τῶν νῦν ὅν τινα θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγῃ·
› δεῦρ' ἴτω ἐκ πάντων πρόμος ἔμμεναι Ἕκτορι δίῳ·

πρόμαχος πάθος συγκοπή: ·

Left margin: ἀρίσταρχος πόντον· ὡς τοῦ ἐξ ὑπαντῆς τῇ φρικί. ἄλλοι δὲ πόντος ὑπ' αὐτοῦ: — ἐπιτελεῖ· τεκμαίρ· γὰρ τὸ τέλος. — γρ. καὶ τῶν νῦν ὅστινα θυμός:

Right margin: πόντον ἔπι φρίξ: ὁ Ἀσκαλωνίτης ἀναστρέφει ἐπὶ πόντον οὕτως οἱ ἄλλοι ... ἀμείνον οὐδὲν γὰρ δεῖται τὸ ἐπὶ φρὶξ χεῖσθαι εἰ μὴ παρέλκει ἡ πρόθεσις. ὅπερ οὐ πιθανόν. οὐ γὰρ κατεῖπεν: φρίξ δὲ ἡ ἐξ ἐπιπολῆς κίνησις τοῦ κύματος ἀρχομένου, καὶ τὸ ἐπιπολάζον τῷ κύματι ἀφρῶδες. ὅταν ἄνεμος ἄρχηται πνεῖν· καὶ ἐρεῖ δὲ τὴν πρώτην ἔγερσιν τῶν κυμάτων ἀκούσαιμι· φρίσσει πόθεν· ἢ ἐν ... ἐπεὶ χαίρει φασί φρίσσειν ... φησίν: —

ὀρνυμένοιο νέον μελάνει δέ τε πόντος: ὅτι ἐὰν μὲν γραφῆ ὁ πόντος ὑπ' αὐτοῦ, ἔσται μελαίνεται ὁ πόντος ὑπὸ τοῦ ζεφύρου· ἐὰν δὲ πόντον ὑπ' αὐτῆς, ἔσται μελαίνει δὲ τὸν πόντον ὁ ζέφυρος ὑπὸ τῇ φρικί: —

μελάνει: ὀξύνει· ὁ Ἀσκαλωνίτης· ἐκ γὰρ τοῦ μελαίνει φησὶν ἐνδεῖ τοῦ ἐγέγονε: —

ὑμῖν μὲν γὰρ ἔασιν: αἱ ἀεὶ ... οὕτως· ὑμῖν δὲ ἐν γὰρ ἔασι· καὶ ἔστι τὸ ἑξῆς ὑμῖν δὲ ἔν εἰσι γὰρ καὶ ἐν ὑμῖν δὲ ἔασιν ἀριστῆες: — δεῦρ' ἴτω: ὅτι ἡ διπλῆ ὅτι περισσεύει καὶ ὅτι πρόμον τὸν πρόμαχον κατὰ συγκοπήν· καὶ ὅτι ἐκάλεσε δῖον ἑαυτὸν ὁ Ἕκτωρ: —

ὧδε δὲ μυθέομαι· ζεὺς δ' ἄμμ' ἐπὶ μάρτυρος ἔστω.
εἰ μέν κεν ἐμὲ κεῖνος ἕλῃ ταναήκεϊ χαλκῷ.
τεύχεα συλήσας φερέτω κοίλας ἐπὶ νῆας.
σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
τρῶες καὶ τρώων ἄλοχοι λελάχωσι θανόντα.
εἰ δέ κ' ἐγὼ τὸν ἕλω, δώῃ δέ μοι εὖχος ἀπόλλων.
τεύχεα συλήσας οἴσω προτὶ ἴλιον ἱρήν.
καὶ κρεμόω προτὶ νηὸν ἀπόλλωνος ἑκάτοιο.
τὸν δὲ νέκυν ἐπὶ νῆας ἐϋσσέλμους ἀποδώσω.
ὄφρά ἑ ταρχύσωσι κάρη κομόωντες ἀχαιοί.
σῆμά τέ οἱ χεύωσιν ἐπὶ πλατεῖ ἑλλησπόντῳ.
καί ποτέ τις εἴπῃσι καὶ ὀψιγόνων ἀνθρώπων
νηῒ πολυκλήϊδι πλέων ἐπὶ οἴνοπα πόντον.
ἀνδρὸς μὲν τόδε σῆμα πάλαι κατατεθνηῶτος.
ὅν ποτ' ἀριστεύοντα κατέκτανε φαίδιμος ἕκτωρ.
ὥς ποτέ τις ἐρέει· τὸ δ' ἐμὸν κλέος οὔ ποτ' ὀλεῖται.
ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι.
ὀψὲ δὲ δὴ μενέλαος ἀνίστατο καὶ μετέειπε
νείκει ὀνειδίζων· μέγα δὲ στεναχίζετο θυμῷ.
ὤ μοι ἀπειλητῆρες, ἀχαιΐδες, οὐκέτ' ἀχαιοί.
ἦ μὲν δὴ λώβη τάδε γ' ἔσσεται αἰνόθεν αἰνῶς.
εἰ μή τις δαναῶν νῦν ἕκτορος ἀντίος εἶσιν.
ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε
ἥμενοι αὖθι ἕκαστοι ἀκήριοι ἀκλεὲς αὔτως.

+ νίκης πείρατ' ἔχονται:– ὅτι τὸ ἀπὸ τῆς μὲν [illegible] νίκης πείρατ' ἔχονται οὐκ [illegible]:–
ἔνθα κέ τοι μενέλαε φάνη βιότοιο τελευτή:– [illegible] καὶ θανάτοιο τελευτή οἷον θανάσιμον τέλος:–

τῷδε δ' ἐγὼν αὐτὸς θωρήξομαι· αὐτὰρ ὕπερθε
> νίκης πείρατ' ἔχονται ἐν ἀθανάτοισι θεοῖσιν.
ὣς ἄρα φωνήσας κατεδύσατο τεύχεα καλά.
ἔνθα κέ τοι μὲν μενέλαε φάνη βιότοιο τελευτὴ
ἕκτορος ἐν παλάμῃσιν, ἐπεὶ πολὺ φέρτερος ἦεν,
εἰ μὴ ἀναΐξαντες ἕλον βασιλῆες ἀχαιῶν.
αὐτός τ' ἀτρείδης, εὐρὺ κρείων ἀγαμέμνων
δεξιτερῆς ἕλε χειρός, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
ἀφραίνεις μενέλαε διοτρεφές, οὐδέ τί σε χρὴ
ταύτης ἀφροσύνης. ἀνὰ δὲ σχέο κηδόμενός περ.
> μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ, ἀμείνονι φωτὶ μάχεσθαι
ἕκτορι πριαμίδῃ, τόν τε στυγέουσι καὶ ἄλλοι.
καὶ δ' ἀχιλεὺς τούτῳ γε μάχῃ ἔνι κυδιανείρῃ
> ἔρριγ' ἀντιβολῆσαι· ὅπερ σέο πολλὸν ἀμείνων·
ἀλλὰ σὺ μὲν νῦν ἵζευ ἰὼν μετὰ ἔθνος ἑταίρων.
> τούτῳ δὲ πρόμον ἄλλον ἀναστήσουσιν ἀχαιοί·
εἴπερ ἀδειής τ' ἐστί, καὶ εἰ μόθου ἔστ' ἀκόρητος.
φημί μιν ἀσπασίως γόνυ κάμψειν, αἴ κε φύγῃσι
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος.
ὣς εἰπὼν. παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως
αἴσιμα παρειπών. ὁ δ' ἐπείθετο· τοῦ μὲν ἔπειτα
γηθόσυνοι θεράποντες ἀπ' ὤμων τεύχε' ἕλοντο·
νέστωρ δ' ἀργείοισι μανίστατο καὶ μετέειπεν·
ὢ πόποι. ἦ μέγα πένθος ἀχαιΐδα γαῖαν ἱκάνει.
ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα πηλεύς

ἢ καὶ θανάτοιο τελευτὴ οἷον θανάσιμον τέλος:

ἀνὰ δὲ σχέο: τὸ [illegible] ἀνάσχεο:–

ἀφραίνεις μενέλαε: παραφρονεῖς [illegible] οὐ φρόνιμος [illegible] μάχῃ [illegible] εἴπερ ἀδειής τ' ἐστί· [illegible] ἀκόρητος [illegible] φάζεσθαι

γόνυ κάμψειν: ἀναπαύσεσθαι [illegible]

ἔρριγ' ἀντιβολῆσαι [illegible] ἔχει τὸ ὀνειδιστικόν:–

ὅς ποτέ μ' εἰρόμενος: ὁ ζηνόδοτος γράφει μέγ' ἀνίαχεν· ἐξ οὗ φανερόν ἐστιν ἀγνοοῦντα [illegible] οἷον ἐρόμενος· ὁ δὲ ὅμηρος τὸ μείρεσθαι οὐκ ἐπὶ τοῦ ἐρέσθαι τίθησιν, ἀλλ' ἐπὶ τοῦ μερίζεσθαι, καὶ ἥμισυ μείρεο τιμῆς. διὸ νοεῖν ἐρόμενος ἐρωτῶν προκείμενα δὲ ὁ ἀρίσταρχος μέγ' ἐγήθεεν γράφει:— ὅς ποτέ μ' εἰρόμενος· τὸ πλῆρες ἐμὲ ἐρόμενος:—

γενεήν τε τόκον τε: πατέρα καὶ παῖδα· τὸ μὲν γὰρ [illegible] τὸ [illegible]· τὸ δὲ λέγειν ὁ μὲν μαρτύρηκα ἐπὶ μακρότερειαν ἐπὶ φθόνον:— ἀκούσαι: ἀκούσας παροξυτονητέον ἀμφότερα [illegible] γὰρ τὴν [illegible] εὐκτικοῖς μακρὰν εἶναι:— ἀνὰ χεῖρας ἀείραι: ἐν τοῖς ἐξητασμένοις ἀείρας χεῖρας [illegible] τὰς ἐναρημένας ὑπὸ γῆς ἐσομένων καὶ διοικητοῦ. ἀλλαχοῦ δὲ τὰς ἐρρωμένας [illegible] χεῖρας ἐστὶν ἄν:—

ἡβῷμ'· ὅτι ἰδίως τὰ ἐπὶ [illegible] προτάξας τὸ κύριον ἐπήγαγεν ἰορδάνου ἀμφὶ ῥέεθρα:—

φειᾶς πὰρ τείχεσσιν: ὁ [illegible] [illegible]· ἡ δὲ [illegible] ἐπαγομένη διὸς οὔροι [illegible] καὶ μυκῆνας:—

φειάς: περισπαστέον [illegible] γενικήν· πρόδηλον καὶ ἐκ τῆς συντάξεως τοῦ τείχει παρὰ τοῖς τῆς φειᾶς τείχεσι. φειὰ πόλις τῆς ἤλιδος, οἱ δὲ τῆς ἀρκαδίας. παρ' ὃ ἰορδάνης ῥεῖ. ἀλλ' ἀμαθύνα παραθαλάσσιος ἐστὶ καὶ ἰάρδανος οὐ ὁρᾶται ποταμὸς αὐτόθι. ἀλλ' [illegible] φηρὰ παρὰ τὴν ἰαρδάνου ἀμφὶ ῥέεθρα· οὕτω γὰρ καὶ φερεκύδης ἱστορεῖ:—

δίου ἀρηϊθόου· ὅτι πυκνὰ ἐν [illegible] ἀρήτεις ἅπαξ δὲ [illegible] καὶ ὅτι οὗτος ὁ ἀρηΐθοος ἀρκὰς ὁμώνυμος ἐστὶ τῷ [illegible]:—

ὃ ἀντὶ τοῦ πρὸ μαχεσκοινῶς:

οὕνεκ' ἄρ' οὐ τόξοισι μαχέσκετο· τοῖς ἐπαίνοις συναπτέον αἰτιολογικῶς τοῦ κορυνήτου ὀνομασίας αὐτῆς· τὸν ἐξῆς δὲ ὁμοίως συναπτέον· ἀλλὰ σιδηρείῃ κορύνῃ [illegible] διαστέλλοντα:—

χραῖσμε σιδηρείη: πρὶν γὰρ λυκόοργος ὑποφθάς: ὅτι ἀντὶ τοῦ ὑποφθάσας ἰακῶς, ἀρισταρχ ἔφησι καὶ ἀμαρτάνων· οἷον [illegible] ἁμαρτάνων:— τεύχεα δ' ἐξενάριξε· ὅτι κυρίως τὸ ἐξενάριξεν μετὰ τὰ ἔναρα ἐπιπεριεῖλεν:—

οὐ ἀριστάρχ ἄλλοι [illegible] τεύχεά τ' ἐξενάριξε:

ἐσθλὸς μυρμιδόνων βουληφόρος ἠδ' ἀγορητής

ὅς ποτέ μ' εἰρόμενος μέγ' ἐγήθεεν ᾧ ἐνὶ οἴκῳ.

πάντων ἀργείων ἐρέων γενεήν τε τόκον τε·

τοὺς νῦν εἰ πτώσσοντας ὑφ' ἕκτορι πάντας ἀκούσαι.

πολλά κεν ἀθανάτοισι φίλας ἀνὰ χεῖρας ἀείραι

θυμὸν ἀπὸ μελέων δῦναι δόμον ἄϊδος εἴσω·

αἲ γὰρ ζεῦ τε πάτερ καὶ ἀθηναίη καὶ ἄπολλον.

ἡβῷμ' ὡς ὅτ' ἐπ' ὠκυρόῳ κελάδοντι μάχοντο

ἀγρόμενοι πύλιοί τε καὶ ἀρκάδες ἐγχεσίμωροι

φειᾶς πὰρ τείχεσιν. ἰαρδάνου ἀμφὶ ῥέεθρα·

τοῖσι δ' ἐρευθαλίων, πρόμος ἵστατο ἰσόθεος φὼς

τεύχε' ἔχων ὤμοισιν ἀρηϊθόοιο ἄνακτος.

δίου ἀρηϊθόου. τὸν ἐπίκλησιν κορυνήτην

ἄνδρες κίκλησκον. καλλίζωνοί τε γυναῖκες.

οὕνεκ' ἄρ' οὐ τόξοισι μαχέσκετο. δουρί τε μακρῷ.

ἀλλὰ σιδηρείῃ κορύνῃ ῥήγνυσκε φάλαγγας·

τὸν λυκόοργος ἔπεφνε δόλῳ. οὔ τι κράτεΐ γε

στεινωπῷ ἐν ὁδῷ. ὅθ' ἄρ' οὐ κορύνη οἱ ὄλεθρον

χραῖσμε σιδηρείη. πρὶν γὰρ λυκόοργος ὑποφθὰς

δουρὶ μέσον περόνησεν. ὁ δ' ὕπτιος οὔδει ἐρείσθη·

τεύχεα δ' ἐξενάριξε. τά οἱ πόρε χάλκεος ἄρης.

καὶ τὰ μὲν αὐτὸς ἔπειτα φόρει μετὰ μῶλον ἄρηος·

αὐτὰρ ἐπεὶ λυκόοργος ἐνὶ μεγάροισιν ἐγήρα.

δῶκε δ' ἐρευθαλίωνι φίλῳ θεράποντι φορῆναι·

τοῦ ὅ γε τεύχε' ἔχων. προκαλίζετο πάντας ἀρίστους.

δῶκε δ' ἐρευθαλίωνι: ὁ οὗτος [illegible] φράζει καὶ ὅτι περὶ [illegible] ὁ δὲ [illegible] δῶκε δ' ἐρευθαλίωνι:

θάρσεϊ ᾧ: ὅτι ζηλωτὸν τὸ θάρσος ἐμοὶ ἀδιαμόνητον δείκνυται. ἡ τύχη μὲν ἐπὶ σοῦ τοῦ θάρσους τοῦ ἐμοῦ:
πολλός: ἀπὸ τοῦ ἀναρίθμου μέτρου ἐπὶ ἀμέτρου μέτρου μεγέθη· ὥσπερ τὸ ἡμεῖς μὲν οὐ μάλα πολλὸν ἐπὶ πινέσθω ἀμφορέα:-
πολλὸς γάρ τις ἔκειτο παρήορος: σημειοῦνταί τινες διὰ τὸ παρήορος ὅτι παρηρτημένος καὶ κεχυμένος:
παρήορος: παρηωρημένος τῷ σώματι τοῦ πεσεῖν ἐκταθεὶς μὲν ἔνθα καὶ ἀντὶ τοῦ παρεωρουμένου καὶ εἰς μῆκος ἐκτεταμένος. λέγει δὲ οὕτως ποτέ. καὶ τὸν παρεζευγμένον ἐκτὸς τοῦ ζυγοῦ ἵππον ἐπὶ τὸν ἀέρα:

οἱ δὲ μάλ' ἐτρόμεον καὶ ἐδείδισαν. οὐδέ τις ἔτλη.
ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν
θάρσεϊ ᾧ. γενεῇ δὲ νεώτατος ἔσκον ἁπάντων.
καὶ μαχόμην οἱ ἐγώ, δῶκεν δέ μοι εὖχος ἀθήνη.
τὸν δὴ μήκιστον καὶ κάρτιστον κτάνον ἄνδρα.
πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα.
εἴθ' ὣς ἡβώοιμι. βίη δέ μοι ἔμπεδος εἴη.
τώ κε τάχ' ἀντήσειε μάχης κορυθαιόλος ἕκτωρ.
ὑμέων δ' οἵ περ ἔασιν ἀριστῆες παναχαιῶν.
οὐδ' οἳ προφρονέως μέμαθ' ἕκτορος ἀντίον ἐλθεῖν.
ὣς νείκεσσ' ὁ γέρων. οἱ δ' ἐννέα πάντες ἀνέσταν.
ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν ἀγαμέμνων.
τῷ δ' ἐπὶ τυδείδης ὦρτο κρατερὸς διομήδης.
τοῖσι δ' ἐπ' αἴαντες θοῦριν ἐπιειμένοι ἀλκήν.
τοῖσι δ' ἐπ' ἰδομενεὺς καὶ ὀπάων ἰδομενῆος
μηριόνης. ἀτάλαντος ἐνυαλίῳ ἀνδρειφόντῃ.
τοῖσι δ' ἐπ' εὐρύπυλος. εὐαίμονος ἀγλαὸς υἱός.
ἂν δὲ θόας ἀνδραιμονίδης. καὶ δῖος ὀδυσσεύς.
πάντες ἄρ' οἵ γ' ἔθελον πολεμίζειν ἕκτορι δίῳ.
τοῖς δ' αὖτις μετέειπε γερήνιος ἱππότα νέστωρ·
κλήρῳ νῦν πεπάλασθε διαμπερές. ὅς κε λάχῃσιν.
οὗτος γὰρ δὴ ὀνήσει ἐϋκνήμιδας ἀχαιούς.
καὶ δ' αὐτὸς ὃν θυμὸν ὀνήσεται. αἴ κε φύγῃσι.
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆς δηϊοτῆτος.
ὣς ἔφαθ', οἱ δὲ κλῆρον ἐσημήναντο ἕκαστος.

ὣς νείκεσσ' ὁ γέρων: προτρέψας κλῶσεν ὅτι ἀντὶ τοῦ ἐπέπληξεν· οὐδέποτε δὲ ἐπὶ τοῦ ἐκρίνεν ὥσπερ νῦν· ὅς μ' εἰκλώσεν θεαὸς καὶ ὅτι παρέλκει σιωπηθὲν αὐτόθι τὸ πάντες:-
τῷ δ' ἐπὶ τυδείδης: οὐ καταστρεπτέον τὴν πρόθεσιν· μεταξὺ γὰρ πέπτωκεν ὁ δὲ σύνδεσμος:-
τοῖσι δ' ἐπ' εὐρύπυλος: οὐδὲ ἐνταῦθα δὲ ἀναστρεπτέον. καὶ ὅτι σιωπᾶται:-
κλήρωι νῦν πεπάλασθε: ὅτι τηρεῖ τὴν διαφορὰν τοῦ κληρώσασθαι καὶ λαχεῖν. καὶ πρὸς τὸ λάχῃσιν ὅτι ὅς ἂν λάχῃ. ἡ δὲ ἀναφορὰ πρὸς τὸ ἰχθύς ὅς κε φύγῃσι περιφίλ... ται:—
πεπάλασθε: οἷον κληρώσασθε διαλέξη ἐρώσασθε ἀπὸ τοῦ ἀναπάλλεσθαι τοὺς κλήρους. πεπάλασθε λέγει. τὸ δὲ καὶ ὅς κε λάχῃσι τινὲς δὲ γράφουσι διὰ τοῦ ω. ἵνα ᾖ πη· τὸ τίς ὡς πολλαχοῦ παρ' αὐτῷ:—

κλήρωι νῦν πεπάλασθε: στικτέον κατὰ τὸ τέλος τοῦ στίχου τὸ δὲ ἑξῆς οὗτος γὰρ δὴ ὀνήσει. ἤτοι περὶ τοῦ κλήρου ἐστὶν ἢ τοῦ λαχόντος ὁ καὶ ἄμεινον. ἐπιφέρει γὰρ καὶ δ' αὐτὸς ὃν θυμὸν ὀνήσεται. ἄλλος μὲν τοῖς ὑπὸ τοῦ ἀχιλλέως διὸ ἐϋκνήμιδας γὰρ τούτους ποιεῖ, τὸ δὲ ἐν τοῖς πρώτοις αἰχμοῖς καὶ ὡς ἀκατάλληλον εἶναι κληρώσασθε ὅς ἐὰν λάχῃσι, συνήθως ὁ μὲν γὰρ οἷον κληρώσασθε λάχοι γὰρ ἄν τις. τὸ δὲ διαμπερὲς πρόσκειται ἀντὶ τοῦ διηνεκῶς οἷον πάντες. ταῦτα δέ τινες ὑπαδόμενοι ἀφ' ἑτέρας ἀρχῆς ποιοῦσι μακρὰν ἀνάγνωσιν. διαμπερὲς ὅς κε λάχῃσιν. οὗτος γὰρ δὴ ὀνήσει ἵνα ᾖ τὸ ἑξῆς. οὗτος γὰρ δὴ διαμπερὲς ὀνήσει ὅς κε λάχῃσι. οἱ δὲ οὕτως. ὅς κε λάχῃσιν οὗτος δὴ ὀνήσει δηλονότι. μετὰ τὸ διαμπερὲς στίζοντες. ταῦτα ὁ νικάνωρ:-

θεοῖς, ἰδὲ χεῖρας ἀνέσχον: ὁ ἀσκαλωνίτης διαστέλλει· ἰδὲ χεῖρας ἀνέσχον ὡς οἱ δ' ἔκλυον ἠδ' ἐπίθοντο· ἵν' ᾖ θεοῖς ἠρήσαντο καὶ χεῖρας ἀνέσχον· ἀμείνων δὲ ἡ κατὰ τὸ συνεχὲς παραδιαστολή· λαοὶ δ' ἠρήσαντο θεοῖσι δὲ χεῖρας ἀνέσχον οὕτως οἱ περὶ Νικάνορα· οὐκ ἀποδοκεῖ μάλα μέντοι τὴν ἑτέραν ὡς ἀμείνω καὶ ἡμῖν οὕτως δοκεῖ:—

ἐν δ' ἔβαλον κυνέῃ ἀγαμέμνονος ἀτρείδαο·
λαοὶ δ' ἠρήσαντο θεοῖς· ἰδὲ χεῖρας ἀνέσχον· (margin: αἱ χεῖρες θεοῖσι δὲ · ἠ θεοῖσι ἰδὲ)
ὧδε δέ τις εἴπεσκεν· ἰδὼν ἐς οὐρανὸν εὐρύν·
ζεῦ πάτερ. ἢ αἴαντα λαχεῖν. ἢ τυδέος υἱόν.
ἢ αὐτὸν βασιλῆα πολυχρύσοιο μυκήνης· (margin: [illegible])
ὣς ἄρ' ἔφαν· πάλλεν δὲ γερήνιος ἱππότα νέστωρ·
ἐκ δ' ἔθορε κλῆρος κυνέης. ὃν ἄρ' ἤθελον αὐτοί (margin: ὃ ἀνέσει τοὺς κλήρους ὃν κε ξηρὸν τὸ ὡς ἡμεῖς νῦν)
αἴαντος· κῆρυξ δὲ φέρων ἀν' ὅμιλον ἁπάντῃ
δεῖξ' ἐνδέξια πᾶσιν ἀριστήεσσιν ἀχαιῶν.
οἳ δ' οὐ γιγνώσκοντες· ἀπηνήναντο ἕκαστος·
ἀλλ' ὅτε δή ῥ' ἵκανε φέρων ἀν' ὅμιλον ἁπάντῃ. (margin: ἀλλ' ὅτε δὴ ῥ' ἵκοντο ἀλλ' ὅτε δὴ ῥ' ἵκανε:)
ὅς μιν ἐπιγράψας κυνέῃ βάλε φαίδιμος αἴας.
ἤτοι ὑπέσχεθε χεῖρ'. ὁ δ' ἄρ' ἔμβαλεν ἄγχι παραστάς·
γνῶ δὲ κλήρου σῆμα ἰδών. γήθησε δὲ θυμῷ·
τὸν μὲν πὰρ πόδ' ἑὸν χαμάδις βάλε. φώνησέν τε·
ὦ φίλοι. ἤτοι κλῆρος ἐμός. χαίρω δὲ καὶ αὐτὸς
θυμῷ· ἐπεὶ δοκέω νικησέμεν ἕκτορα δῖον·
ἀλλ' ἄγετ'· ὄφρ' ἂν ἐγὼ πολεμήϊα τεύχεα δύω. (margin: ἀρίσταρχος [illegible])
τόφρ' ὑμεῖς εὔχεσθε διῒ κρονίωνι ἄνακτι
— σιγῇ ἐφ' ὑμείων· ἵνα μὴ τρῶές γε πύθωνται·
— ἠὲ καὶ ἀμφαδίην· ἐπεὶ οὔ τινα δείδιμεν ἔμπης·
— οὐ γάρ τίς με βίῃ γε ἑκὼν ἀέκοντα δίηται (margin: ἀρίσταρχος ἀτοῦ ἑκών)
— οὐδέ τ' ἀϊδρείῃ· ἐπεὶ οὐδ' ἐμὲ νήϊδ' οὕτως (margin: πρ οὐδέ τι ἰδρείῃ)
— ἔλπομαι ἐν σαλαμῖνι γενέσθαι τε τραφέμεν τε·
ὣς ἔφαθ'. οἱ δ' εὔχοντο διῒ κρονίωνι ἄνακτι.

ἐνδέξια: ὁ τὰρ ἀντὶ ἐπιρρήματος ἢ ἀντὶ τοῦ ἐπὶ δεξιά· ἐν δεξιᾷ τεῖτη ἀπὸ τέλους ἡ ὀξεῖα:—
ὅς μιν ἐπιγράψας· ὅτι οὐ γράμματα τῇ ὀρθῶς ἀλλ' ἐγχαράξας σημεῖα· εἰ γὰρ κοινῶς ᾔδεσαν γράμματα, ἔδει τὸν κήρυκα ἀναγνῶναι καὶ τοὺς ἄλλους οἷς ἐπεδείκνυτο κλῆρος:—
σιγῇ ἐφ' ὑμείων: ἐπεὶ τοῦ ἔμπης ἐν σαλαμῖνι τίχοι πρὸ τῶν ἀθετοῦνται ὅτι οὐ κατὰ τὸν αἴαντα οἱ λόγοι καὶ ἐναντίοι τῷ ὑποφέρειν κινδύνους.

οὐδέ τ' ἀϊδρείῃ: διὰ τοῦ ι εἶχον αἱ ἀριστάρχου· ἡ δὲ ἀριστοφάνους οὐδέ μεν ἰδρείῃ. ἠθέτηντο δὲ καὶ παρ' ἀριστοφάνει καὶ ζηνοδότῳ:— πρὸς ἄπειρα πολέμου τινὰ πρόσωπα:—
ἐπεὶ οὐδ' ἐμέ. ἐν ὀρθῇ τάσει ἀναγνωστέον ἵνα ᾖ ἀντιδιασταλτικόν:
γενέσθαι τε: ἀλλ' ἐσαμήλοι ὁ ξεῖαι καὶ τοιοῦτον δὲ [illegible] ἀλλ' ἴσως ἐν [illegible] τὸν διπλασιασμὸν τοῦ ῥήματος [illegible] τῆς παραλόγως ἐγκλινομένη. [illegible] τὸ χεῖρον ἵνα μὴ πληθυντικὸν ῥῆμα ὑπολάβωμεν:—

+ Ζεῦ πάτερ Ἴδηθεν: ὅτι τὸ Ἴδηθεν παρέλκει ...

ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε·
δὸς νίκην Αἴαντι, καὶ ἀγλαὸν εὖχος ἀρέσθαι·
εἰ δὲ καὶ Ἕκτορά περ φιλέεις, καὶ κήδεαι αὐτοῦ·
ἴσην ἀμφοτέροισι βίην καὶ κῦδος ὄπασσον·
ὣς ἄρ᾽ ἔφαν· Αἴας δὲ κορύσσετο νώροπι χαλκῷ·
αὐτὰρ ἐπειδὴ πάντα περὶ χροῒ ἕσσατο τεύχη·
σεύατ᾽ ἔπειθ᾽ οἷός τε πελώριος ἔρχεται Ἄρης·
ὅς τ᾽ εἶσιν πόλεμον δὲ μετ᾽ ἀνέρας, οὕς τε Κρονίων
θυμοβόρου ἔριδος μένεϊ ξυνέηκε μάχεσθαι·
τοῖος ἄρ᾽ Αἴας ὦρτο πελώριος, ἕρκος Ἀχαιῶν·
μειδιόων βλοσυροῖσι προσώπασι· νέρθε δὲ ποσσὶν
ἤϊε μακρὰ βιβάς, κραδάων δολιχόσκιον ἔγχος·
τὸν δὲ καὶ Ἀργεῖοι μὲν ἐγήθεον εἰσορόωντες·
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον·
Ἕκτορί τ᾽ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν·
ἀλλ᾽ οὔπως ἔτι εἶχεν ὑποτρέσαι, οὐδ᾽ ἀναδῦναι
ἂψ λαῶν ἐς ὅμιλον, ἐπεὶ προκαλέσσατο χάρμῃ·
Αἴας δ᾽ ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον·
χάλκεον ἑπταβόειον, ὅ οἱ Τυχίος κάμε τεύχων
σκυτοτόμων ὄχ᾽ ἄριστος, Ὕλῃ ἔνι οἰκία ναίων·
ὅς οἱ ἐποίησεν σάκος αἰόλον ἑπταβόειον
ταύρων ζατρεφέων· ἐπὶ δ᾽ ὄγδοον ἤλασε χαλκόν·
τὸ πρόσθε στέρνοιο φέρων Τελαμώνιος Αἴας·
στῆ ῥα μάλ᾽ Ἕκτορος ἐγγύς· ἀπειλήσας δὲ προσηύδα·

σκυτοτόμων ὄχ᾽ ἄριστος Ὕλῃ ἔνι οἰκία ναίων· ὅτι ἐν τῷ ...

+ ῥηξήνορα· τὸν ῥηγνύντα τὴν ἠνορέην τουτέστι τὴν ἀνδρείαν. ἢ τὸν ῥήξαντι ἤτοι πρήξαντι τὴν ἠνορέην δυνάμενον. τουτέστι τὴν ἀνδρείαν·

Ἕκτορ· νῦν μὲν δὴ σάφα εἴσεαι οἰόθεν οἶος
οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασι
καὶ μετ' Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα·
ἀλλ' ὁ μὲν ἐν νήεσσι κορωνίσι ποντοπόροισι
κεῖτ' ἀπομηνίσας Ἀγαμέμνονι ποιμένι λαῶν·
ἡμεῖς δ' εἰμὲν τοῖοι· οἳ ἂν σέθεν ἀντιάσαιμεν
καὶ πολέες· ἀλλ' ἄρχε μάχης ἠδὲ πτολέμοιο·
Τὸν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
[Αἶαν διογενὲς Τελαμώνιε κοίρανε λαῶν.]
μή τί μευ ἠΰτε παιδὸς ἀφαυροῦ πειρήτιζε
ἠὲ γυναικὸς ἣ οὐκ οἶδεν πολεμήϊα ἔργα·
αὐτὰρ ἐγὼν εὖ οἶδα μάχας τ' ἀνδροκτασίας τε·
οἶδ' ἐπὶ δεξιά· οἶδ' ἐπ' ἀριστερὰ νωμῆσαι βῶν
ἀζαλέην· τό μοι ἐστὶ ταλαύρινον πολεμίζειν·
οἶδα δ' ἐπαΐξαι μόθον ἵππων ὠκειάων·
οἶδα δ' ἐνὶ σταδίῃ δηΐῳ μέλπεσθαι Ἄρηϊ·
ἀλλ' οὐ γάρ σ' ἐθέλω βαλέειν τοιοῦτον ἐόντα
λάθρῃ ὀπιπεύσας· ἀλλ' ἀμφαδόν· αἴ κε τύχωμι·
Ἦ ῥα· καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος·
καὶ βάλεν Αἴαντος δεινὸν σάκος ἑπταβόειον·
ἀκρότατον κατὰ χαλκόν· ὃς ὄγδοος ἦεν ἐπ' αὐτῷ·
ἓξ δὲ διὰ πτύχας ἦλθε δαΐζων χαλκὸς ἀτειρής·
ἐν τῇ δ' ἑβδομάτῃ ῥινῷ σχέτο· δεύτερος αὖτε
Αἴας διογενὴς προΐει δολιχόσκιον ἔγχος·
καὶ βάλε Πριαμίδαο κατ' ἀσπίδα πάντοσ' ἐΐσην·
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος.

Marginal notes:

οὕτως Ἀρίσταρχος· κοινῶς· ἀντὶ τοῦ βοῦν

+ ἐπαΐξαι

Ἀρίσταρχος σὺν τῷ ῑ· ἡ δηΐων πληθυντικῶς

βῶν· οὕτως αἱ Ἀριστάρχου κοινῶς τῶν ... ἡ Ἀριστοφάνους κοινὴ τὴν δὲ λέξιν τοῦ βοῦν, καὶ μήποτε πιθανῶς ἀντὶ τοῦ βοῦν:—

βῶν· κοινῶς δὲ εἰκὸς τὴν ἀσπίδα ὅτι ἐκ βοείων ἐστὶ δερμάτων συνεκδοχικῶς τοιοῦτος:—

ἀζαλέην· ὅτι τὴν ἀσπίδα ξηρὰν λέγει κατὰ τὸ ἐκ βοείων εἶναι δερμάτων· καὶ ὅτι προτάξας θηλυκὸν οὐδέτερον ἐπήνεγκεν· τό μοι ἐστὶ πρὸς τὸ σημαινόμενον. τὸ δὲ ταλαύρινον παρῆκται ἀτλήμονος· οὐ γὰρ κυρίως ἤλεκται ὅσα ὀλιγοστά.

μέλπεσθαι· κυρίως μὲν παίζειν καὶ τέρπεσθαι. νῦν δὲ οἷον κινεῖσθαι εὐχερῶς καὶ εὐπρεπῶς κατὰ τὴν μάχην:—

† τὼ δ' ἐκσπασσαμένω δολίχ' ἔγχεα· ὅτι κυρίως ἔγχη τὰ δόρατα· οἱ χρηστῆρες τὰ ξίφη λέγει δὲ τὰ ἐνεχόμενα ταῖς ἀσπίσιν ἃ προήκαντο.

τὼ δ' ἐκσπασσαμένω· σύν ῥ' ἔπεσον ἢ συσὶ κάπροισιν· τοῖς στίχοις τούτοις οὐ προσέχονται ἔνιοι ὡς ἀνδρὸς οὐ δεξιῶς διδόντος· ἅμα τὸ τῆς ... οὕτως ἔχει παρ' αὐτοῖς ὁ ... καὶ ὁ Ἀριστόνικος ἐκτίθησιν καὶ περὶ ... γράφει.

καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·
ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα
ἔγχος· ὁ δ' ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.
τὼ δ' ἐκσπασσαμένω δολίχ' ἔγχεα χερσὶν ἅμ' ἄμφω — ἐπὶ τοῦ τέλους τοῦ στίχου βραχὺ δὲ ταῦτ' ἐν·
σύν ῥ' ἔπεσον λείουσιν ἐοικότες ὠμοφάγοισιν
ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν.
Πριαμίδης μὲν ἔπειτα μέσον σάκος οὔτασε δουρί·
οὐδ' ἔρρηξεν χαλκόν, ἀνεγνάμφθη δέ οἱ αἰχμή. — Ἀρίσταρχος τοῦ χαλκός·
Αἴας δ' ἀσπίδα νύξεν ἐπάλμενος· ἣ δὲ διαπρὸ
ἤλυθεν ἐγχείη· στυφέλιξε δέ μιν μεμαῶτα.
τμήδην δ' αὐχέν' ἐπῆλθε, μέλαν δ' ἀνεκήκιεν αἷμα.
ἀλλ' οὐδ' ὧς ἀπέληγε μάχης κορυθαιόλος Ἕκτωρ·
ἀλλ' ἀναχασσάμενος λίθον εἵλετο χειρὶ παχείῃ
κείμενον ἐν πεδίῳ, μέλανα τρηχύν τε μέγαν τε·
τῷ βάλεν Αἴαντος δεινὸν σάκος ἑπταβόειον
μέσσον ἐπομφάλιον· περιήχησεν δ' ἄρα χαλκός.
δεύτερος αὖτ' Αἴας πολὺ μείζονα λᾶαν ἀείρας
ἧκ' ἐπιδινήσας, ἐπέρεισε δὲ ἶν' ἀπέλεθρον. — ἀπέρεισεν
εἴσω δ' ἀσπίδ' ἔαξε βαλὼν μυλοειδέϊ πέτρῳ·
βλάψε δέ οἱ φίλα γούναθ'· ὁ δ' ὕπτιος ἐξετανύσθη
ἀσπίδι ἐγχριμφθείς· τὸν δ' αἶψ' ὤρθωσεν Ἀπόλλων. — Ἀρίσταρχος ἀσπίδ' ἐνιχριμφθείς·
καί νύ κε δὴ ξιφέεσσ' αὐτοσχεδὸν οὐτάζοντο,
εἰ μὴ κήρυκες Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν
ἦλθον· ὁ μὲν Τρώων, ὁ δ' Ἀχαιῶν χαλκοχιτώνων,
Ταλθύβιός τε καὶ Ἰδαῖος, πεπνυμένω ἄμφω· — ὁ πρότερος δεύτερον πρῶτ(ον)· ὁ γὰρ Ταλθύβιος Ἀχαιϊκός·

† καί νύ κε· ὁ Ἀρίσταρχος ἐπὶ τοῖς ξίφεσι χρῆσθαι ἐπηλύθασιν· ὅταν δὲ λέγῃ τὼ δ' ἐκσπασσαμένω δολίχ' ἔγχεα τὰ δόρατα λέγει ἐκ τῶν ἀσπίδων ἀπεσπάσαντο. — Ταλθύβιός τε καὶ Ἰδαῖος· ὁ μὲν Ἰδαῖος εἰκότως προσέρχεται τὸν Ἕκτορα σώσων κινδυνεύοντα· ὁ δὲ Ταλθύβιος οὐκέτι τὴν νίκην Αἴαντος προαιρούμενος, ἀλλ' οὐδὲ ὡς ... ἡ νίκη περὶ τὸν Αἴαντα· ἐπὶ ξίφη γὰρ αὐτοὺς ὁρμῆσαι λέγει ἔτι καὶ τὸν Ἕκτορα ὀρθὸν ὑπὸ θεῶν ποιηθέντα· καὶ διὰ τὸ τῆς νυκτὸς κατάστημα ἐν μέσῳ τύχης οὔτε χρῆναι κρίσεις· ἀπ' ἴσου γὰρ ἡ βελῶν.

μέσσῳ δ' ἀμφοτέρων σκῆπτρα σχέθον· εἶπέ τε μῦθον
κῆρυξ ἰδαῖος, πεπνυμένα μήδεα εἰδώς·
μηκέτι παῖδε φίλω πολεμίζετε· μηδὲ μάχεσθον.
ἀμφοτέρω γὰρ σφῶϊ φιλεῖ νεφεληγερέτα ζεύς.
ἄμφω δ' αἰχμητά· τό γε δὴ καὶ ἴδμεν ἅπαντες·
※ νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι·
τὸν δ' ἀπαμειβόμενος προσέφη τελαμώνιος αἴας·
ἰδαῖ' ἕκτορα ταῦτα κελεύετε μυθήσασθαι·
αὐτὸς γὰρ χάρμῃ προκαλέσσατο πάντας ἀρίστους.
ἀρχέτω. αὐτὰρ ἐγὼ μάλα πείσομαι ᾗ περ ἂν οὗτος·
τὸν δ' αὖτε προσέειπε μέγας κορυθαίολος ἕκτωρ·
αἶαν· ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε.
καὶ πινυτήν. περὶ δ' ἔγχει ἀχαιῶν φέρτατός ἐσσι.
νῦν μὲν παυσώμεσθα μάχης καὶ δηϊοτῆτος
σήμερον. ὕστερον αὖτε μαχησόμεθ' εἰς ὅ κε δαίμων
ἄμμε διακρίνῃ. δώῃ δ' ἑτέροισί γε νίκην.
— ※ νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι·
ὡς σύ τ' ἐϋφρήνῃς πάντας παρὰ νηυσὶν ἀχαιούς.
— σούς τε μάλιστα ἔτας. καὶ ἑταίρους. οἵ τοι ἔασιν.
αὐτὰρ ἐγὼ κατὰ ἄστυ μέγα πριάμοιο ἄνακτος.
τρῶας ἐϋφρανέω. καὶ τρῳάδας ἑλκεσιπέπλους.
αἵ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα·
δῶρα δ' ἄγ' ἀλλήλοισι περικλυτὰ δώομεν ἄμφω.
ὄφρά τις ὧδ' εἴπῃσιν ἀχαιῶν τε τρώων τε·
ἠμὲν ἐμαρνάσθην ἔριδος πέρι θυμοβόροιο.

νὺξ δ' ἤδη τελέθει· ὅτι ἐντεῦθεν εἰς τὰ ἑξῆς μετενήνεκται· ὁ μὲν γὰρ κῆρυξ αἰτιολογεῖ, διὰ τὸ οὐ πολεμητέον· ὁ δὲ ἕκτωρ ἑαυτὸν μετὰ προφάσεως ἀπολύεται:—

πιθέσθαι· παροξυντέον· μέσον γάρ ἐστι τῷ (Α):

καὶ πινυτὴν περὶ δ' ἔγχει:· ὁ ἀρίσταρχος ἀφ' ἑκατέρου καὶ ἑκατέρωθεν οὕτως ἡ παράδοσις· ὑποστικτέον πινυτήν, ἵνα τὸ περὶ δ' ἔγχει ὁμοῦ ἀναγνῶμεν, καὶ ὑποστικτέον καὶ κατὰ τὸ τέλος τοῦ στίχου ἵνα γένηται ἀνταπόδοσις αὕτη, νῦν μὲν παυσώμεσθα:·

σούς τε μάλιστα ἔτας· ἀθετεῖται ὡς ἀκατάλληλον τῷ προειρημένῳ ὡς σύ τ' ἐϋφρήνῃς πάντας. ἔτι δὲ καὶ διαφοροῦσιν ἔτας καὶ ἑταίρους:·

ἐν ἄλλοις τοι γάρ:

ἐν ἄλλῳ νῦν μὲν παυσώμεν πόλεμον καὶ δηϊοτῆτα:—

ὁ ἀπὸ τοῦ λόγου τοῦ κήρυκος μετενήνεκται:—

περὶ θυμ.

+ αἵ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα: ὅτι τὸν ναὸν καὶ συναγωγὴν τῶν θεῶν [illegible] ἐν ταὐτῷ εἰσιν ἀγάλματα:·

τὼς ἄρα φωνήσας: σημειοῦνταί τινες ὅτι ἀφώπλισεν ἑαυτὸν διὰ τὸ ξίφος ὁ ἕκτωρ.
φοίνικι φαεινόν: ὅ ἐστι τῷ φοινικῷ ἄνθει πεφασμένον ἤτοι κεχρωσμένον.
τὼ δὲ διακρινθέντε: οὕτως ἀρσενικῶς ἀντὶ τοῦ τῶν μὲν διακριθέντων. ὁ μὲν ὁ δέ. ὅτι πρὸς ἑκάτερον πρότερον ἀπηντήκεν.
ἀρτεμέα: οἷον ἀνέλπιστον πρᾶγμα. καλῶς δὲ τοὶ μὲν ἕκτορος τὴν ἀνέλπιστον σωτηρίαν ἐθαύμασαν. ἐπεὶ δὲ αἴαντ. τὴν ἐπὶ τῇ νίκῃ ἡδονήν.

ἠδ' αὖτ' ἐν φιλότητι διέτμαγεν ἀρθμήσαντε.
ὣς ἄρα φωνήσας δῶκε ξίφος ἀργυρόηλον
σὺν κολεῷ τε φέρων καὶ ἐϋτμήτῳ τελαμῶνι. — ἀρίσταρχος διὰ τοῦ κ εὐκμήτῳ
αἴας δὲ ζωστῆρα δίδου φοίνικι φαεινόν.
τὼ δὲ διακρινθέντε. ὃ μὲν μετὰ λαὸν ἀχαιῶν
ἤϊ'. ὃ δ' ἐς τρώων ὅμαδον κίε. τοὶ δὲ χάρησαν
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα.
αἴαντος προφυγόντα μένος καὶ χεῖρας ἀάπτους.
καί ῥ' ἦγον προτὶ ἄστυ. ἀελπτέοντες σόον εἶναι. — ἀελπτέοντες οὐκ ἐλπίζοντες, ἀλλ' ἀπεγνωκότες τὰ ἀντὶ τοῦ πεπραγμένων.
αἴαντ' αὖθ' ἑτέρωθεν ἐϋκνήμιδες ἀχαιοὶ
ἐς ἀγαμέμνονα δῖον ἄγον κεχαρηότα νίκῃ.
οἳ δ' ὅτε δὴ κλισίῃσιν ἐν ἀτρεΐδαο γένοντο.
τοῖσι δὲ βοῦν ἱέρευσεν ἄναξ ἀνδρῶν ἀγαμέμνων
ἄρσενα πενταέτηρον. ὑπερμενέϊ κρονίωνι.
τὸν δέρον ἀμφί θ' ἕπον. καί μιν διέχευαν ἅπαντα.
μίστυλλόν τ' ἄρ' ἐπισταμένως. πεῖράν τ' ὀβελοῖσιν.
ὤπτησάν τε περιφραδέως. ἐρύσαντό τε πάντα.
αὐτὰρ ἐπεὶ παύσαντο πόνου. τετύκοντό τε δαῖτα.
δαίνυντ'. οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
νώτοισιν δ' αἴαντα διηνεκέεσσι γέραιρεν
ἥρως ἀτρεΐδης. εὐρὺ κρείων ἀγαμέμνων.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο.
τοῖς ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν
νέστωρ. οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή.
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν. — ἐϋφρονέ

ἐσκέδασ' ὀξὺς Ἄρης: ὁ συμφώνως τῷ κατὰ τὴν ἀρχὴν τῆς Ἰλιάδος· πολλὰς δ' ἰφθίμους ψυχάς· οὐ κάρα [illegible] κεφαλάς·

Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν.
πολλοὶ γὰρ τεθνᾶσι κάρη κομόωντες Ἀχαιοί.
τῶν νῦν αἷμα κελαινὸν ἐΰρροον ἀμφὶ Σκάμανδρον
ἐσκέδασ' ὀξὺς Ἄρης. ψυχαὶ δ' Ἄϊδόσδε κατῆλθον.
τώ σε χρὴ πόλεμον μὲν ἅμ' ἠοῖ παῦσαι Ἀχαιῶν.
αὐτοὶ δ' ἀγρόμενοι κυκλήσομεν ἐνθάδε νεκροὺς
βουσὶ καὶ ἡμιόνοισιν· ἀτὰρ κατακείομεν αὐτοὺς
τυτθὸν ἀποπρὸ νεῶν· ὥς κ' ὀστέα παισὶν ἕκαστος
οἴκαδ' ἄγῃ ὅτ' ἂν αὖτε νεώμεθα πατρίδα γαῖαν.
τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες
ἄκριτον ἐκ πεδίου· ποτὶ δ' αὐτὸν δείμομεν ὦκα
πύργους ὑψηλούς. εἶλαρ νηῶν τε καὶ αὐτῶν.
ἐν δ' αὐτοῖσι πύλας ποιήσομεν εὖ ἀραρυίας.
ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη.
ἔκτοσθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον.
ἥ χ' ἵππον καὶ λαὸν ἐρυκάκοι ἀμφὶς ἐοῦσα.
μή ποτ' ἐπιβρίσῃ πόλεμος Τρώων ἀγερώχων.
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἐπῄνησαν βασιλῆες.
Τρώων δ' αὖτ' ἀγορὴ γένετ' Ἰλίου ἐν πόλει ἄκρῃ
δεινὴ τετρηχυῖα· παρὰ Πριάμοιο θύρῃσι.
τοῖσιν δ' Ἀντήνωρ πεπνυμένος ἦρχ' ἀγορεύειν.
κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι.
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
δεῦτ' ἄγετ' Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ
δώομεν Ἀτρεΐδῃσιν ἄγειν· νῦν δ' ὅρκια πιστὰ

τυτθὸν ἀποπρὸ νεῶν: ἀθετοῦνται ὅτι οὐ διὰ τοῦτο ἐκαίοντο ὅπως τὰ ὀστᾶ κομίσωνται [illegible] ἐκαίοντο [illegible] ἕκαστος:—

ἀποπρὸ νεῶν: τὰς δύο [illegible]

τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες: [illegible]

ἐν δ' αὐτοῖσι πύλας ποιήσομεν: [illegible] εὖ ἀραρυίας:—

δεινὴ τετρηχυῖα: τεταραγμένη [illegible]:—

ἔλπομαι ἐκτελέεσθαι: ἀθετεῖται, ὅτι ... ὅτι ἵνα οὐχ ὁμηρικῶς ...

εἰσάμενοι μαχόμεσθα· τῶ οὔ νύ τι κέρδιον ἡμῖν
ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε.
ἤτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο·
ὅς μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
Ἀντῆνορ, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις·
οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,
ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί·
αὐτὰρ ἐγὼ Τρώεσσι μεθ' ἱπποδάμοις ἀγορεύσω·
ἀντικρὺ δ' ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώσω·
κτήματα δ' ὅσσ' ἀγόμην ἐξ Ἄργεος ἡμέτερον δῶ
πάντ' ἐθέλω δόμεναι, καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι.
ἤτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
Δαρδανίδης Πρίαμος, θεόφιν μήστωρ ἀτάλαντος·
ὅ σφιν ἐῢ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
νῦν μὲν δόρπον ἕλεσθε κατὰ πτόλιν ὡς τὸ πάρος περ·
καὶ φυλακῆς μνήσασθε, καὶ ἐγρήγορθε ἕκαστος.
ἠῶθεν δ' Ἰδαῖος ἴτω κοίλας ἐπὶ νῆας
εἰπέμεν Ἀτρείδῃς Ἀγαμέμνονι καὶ Μενελάῳ
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε·
καὶ δὲ τόδ' εἰπέμεναι πυκινὸν ἔπος, αἴ κ' ἐθέλωσι
παύσασθαι πολέμοιο δυσηχέος, εἰς ὅ κε νεκροὺς
κείομεν· ὕστερον αὖτε μαχησόμεθ', εἰς ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην.

Marginal notes:

ἀρίσταρχος ἐκτελέεσθ' ἵνα ...

εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις: ...

ἀπόφημι: ...

ἐν ἄλλοις κεῖνται οὗτοι οἱ στίχοι·
κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·

ἐν ἄλλ(ῳ) ζ(ητεῖ) ὅτι
α δόρπον ἔπειθ' ἕλοντο κατὰ στρατὸν ἐν τελέεσσιν.

β Ἀτρεΐδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν
ἐν ἄλλ(ῳ) ἐϋκνήμιδες Ἀχαιοί

† Ἠγάγετο: ἐπισαφῶς ὑπὸ τὸν πρᾶον [illegible] Ἀλεξάνδρου προσ[illegible] [illegible] ἀλλὰ [illegible] τὸ ὡς πρὶν ὤφελλ' ἀπολέσθαι, εἴρηκε καὶ τοῖς Ἕλλησιν εἰς [illegible] ὁ κῆρυξ [illegible] τοῖς ἄλλοις Τρωσὶν [illegible] αὐτοῖς ὀργιζομένοις. εἰρηκέναι [illegible] ἄξιοι [illegible] τὸ φανερὸς λαθεῖν [illegible] προσποιούμενον [illegible] Ἀλεξάνδρου [illegible] ἠγάγετο Τροίηνδε πάντ' ἐθέλει δόμεναι :-

Ἦ μὴν Τρῶές γε [illegible] [illegible] γὰρ [illegible] ἐστὶ τὸ ἦ μὴν καὶ [illegible]

ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
α ἠῶθεν δ' Ἰδαῖος ἔβη κοίλας ἐπὶ νῆας.
τοὺς δ' εὗρ' εἰν ἀγορῇ Δαναοὺς θεράποντας Ἄρηος
νηῒ παρὰ πρύμνῃ Ἀγαμέμνονος· αὐτὰρ ὁ τοῖσι
α στὰς ἐν μέσσοισιν μετεφώνεεν ἠπύτα κῆρυξ·
γ ἠνώγει Πρίαμός τε καὶ ἄλλοι Τρῶες ἀγαυοὶ
εἰπεῖν, αἴ κέ περ ὔμμι φίλον καὶ ἡδὺ γένοιτο
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε.
κτήματα μὲν ὅσ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
> ἠγάγετο Τροίηνδ' ὡς πρὶν ὤφελλ' ἀπολέσθαι,
πάντ' ἐθέλει δόμεναι καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι.
> κουριδίην δ' ἄλοχον Μενελάου κυδαλίμοιο
οὔ φησιν δώσειν· ἦ μὴν Τρῶές γε κέλονται.
καὶ δὲ τόδ' ἠνώγειν εἰπεῖν ἔπος αἴ κ' ἐθέλητε
παύσασθαι πολέμοιο δυσηχέος, εἰς ὅ κε νεκροὺς
κείομεν· ὕστερον αὖτε μαχησόμεθ' εἰς ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην.
※ ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
※ ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
μήτ' ἄρ τις νῦν κτήματ' Ἀλεξάνδροιο δεχέσθω,
μήθ' Ἑλένην· γνωτὸν δὲ καὶ ὃς μάλα νήπιός ἐστιν
ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ' ἐφῆπται.
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν,
μῦθον ἀγασσάμενοι Διομήδεος ἱπποδάμοιο.
καὶ τότ' ἄρ' Ἰδαῖον προσέφη κρείων Ἀγαμέμνων·

οὐ [illegible] βούλεται γὰρ λέγειν [illegible] Τρῶες γε [illegible]

ὅ ἐν τοῖς μετὰ καὶ [illegible] εἰς ἀπο[illegible] πρεσβείαν

Ἰδαῖ', ἤτοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις
ὥς τοι ὑποκρίνονται· ἐμοὶ δ' ἐπιανδάνει οὕτως·
ἀμφὶ δὲ νεκροῖσιν κατακαιέμεν οὔ τι μεγαίρω·
οὐ γάρ τις φειδὼ νεκύων κατατεθνηώτων
γίγνετ', ἐπεί κε θάνωσι, πυρὸς μειλισσέμεν ὦκα.
ὅρκια δὲ Ζεὺς ἴστω ἐρίγδουπος πόσις Ἥρης·
ὣς εἰπὼν τὸ σκῆπτρον ἀνέσχεθε πᾶσι θεοῖσιν.
ἄψορρον δ' Ἰδαῖος ἔβη προτὶ Ἴλιον ἱρήν.
οἳ δ' ἕατ' εἰν ἀγορῇ Τρῶες καὶ Δαρδανίωνες
πάντες ὁμηγερέες, ποτιδέγμενοι, ὁππότ' ἄρ' ἔλθοι
Ἰδαῖος. ὁ δ' ἄρ' ἦλθε, καὶ ἀγγελίην ἀπέειπε
στὰς ἐν μέσσοισιν. τοὶ δ' ὁπλίζοντο μάλ' ὦκα
ἀμφότερον, νέκυάς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην·
Ἀργεῖοι δ' ἑτέρωθεν ἐϋσσέλμων ἀπὸ νηῶν
ὀτρύνοντο νέκυς ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην.
Ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας
ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο
οὐρανὸν εἰσανιών· οἳ δ' ἤντεον ἀλλήλοισιν.
ἔνθα διαγνῶναι χαλεπῶς ἦν ἄνδρα ἕκαστον·
ἀλλ' ὕδατι νίζοντες ἄπο βρότον αἱματόεντα,
δάκρυα θερμὰ χέοντες, ἀμαξάων ἐπάειραν.
οὐδ' εἴα κλαίειν Πρίαμος μέγας· οἳ δὲ σιωπῇ
νεκροὺς πυρκαϊῆς ἐπενήνεον ἀχνύμενοι κῆρ·
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν προτὶ Ἴλιον ἱρήν.
ὣς δ' αὔτως ἑτέρωθεν ἐϋκνήμιδες Ἀχαιοὶ

+ ἀμφιλύκη νύξ· τὸ καλούμενον λυκόφως· τὸ πρὸς ὄρθρον τοῦ λύειν ὁ καλεῖ ὄρθρον παρ' ἀττικοῖς ὅ ἐστι σκοτίαν οἷον ἀμφίλυκος ποιόν, τὸ μὴ καθαρὸν φῶς ἀλλ' ἔτι σκοτῶδες. ἡ διπλῆ δὲ ὅτι ἅπαξ μόνον ἐν ταύτῃ τῇ λέξει κέχρηται:-

ἄκριτον ἐκ πεδίου: ἐν τῇ κατὰ ἀριστοφάνην οὕτως ἐγέγραπτο· ἄκριτον ἐν πεδίῳ· περὶ δ' αὐτὸν τεῖχος ἔδειμαν καὶ ὑπὲρ τάφρον.

νεκροὺς πυρκαϊῆς ἐφορήεον ἀχνύμενοι κῆρ.
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν κοίλας ἐπὶ νῆας.
› ἦμος δ' οὔτ' ἄρ πω ἠώς, ἔτι δ' ἀμφιλύκη νύξ·
τῆμος ἄρ' ἀμφὶ πυρὴν κριτὸς ἔγρετο λαὸς ἀχαιῶν·
τύμβον δ' ἀμφ' αὐτὴν ἕνα ποίεον ἐξαγαγόντες
ἄκριτον ἐκ πεδίου· ποτὶ δ' αὐτὸν τεῖχος ἔδειμαν
πύργους θ' ὑψηλούς. εἶλαρ νηῶν τε καὶ αὐτῶν.
ἐν δ' αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρυίας.
ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
ἔκτοσθεν δὲ βαθεῖαν ἐπ' αὐτῷ τάφρον ὄρυξαν·
εὐρεῖαν, μεγάλην. ἐν δὲ σκόλοπας κατέπηξαν·
ὣς οἳ μὲν πονέοντο κάρη κομόωντες ἀχαιοί·
— οἳ δὲ θεοὶ πὰρ ζηνὶ καθήμενοι ἀστεροπητῇ
— θηεῦντο μέγα ἔργον ἀχαιῶν χαλκοχιτώνων·
— τοῖσι δὲ μύθων ἦρχε ποσειδάων ἐνοσίχθων·
— ζεῦ πάτερ. ἦ ῥά τίς ἐστι βροτῶν ἐπ' ἀπείρονα γαῖαν
›— ὅς τις ἔτ' ἀθανάτοισι, νόον καὶ μῆτιν ἐνίψει.
— οὐχ ὁράᾳς, ὅτε δ' αὖτε κάρη κομόωντες ἀχαιοὶ
— τεῖχος ἐτειχίσσαντο νεῶν ὕπερ· ἀμφὶ δὲ τάφρον
— ἤλασαν. οὐδὲ θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας·
— τοῦ δ' ἤτοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς·
— τοῦ δ' ἐπιλήσονται, τὸ ἐγὼ καὶ φοῖβος ἀπόλλων.
—› ἥρῳ λαομέδοντι πολίσσαμεν ἀθλήσαντε·
— τὸν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα ζεύς·
— ὢ πόποι. ἐννοσίγαι' εὐρυσθενές. οἷον ἔειπες.

τὸ πολυανδρεῖον· πῶς οὖν ὥς κε ὀστέα παισὶν ἕκαστος οἴκαδ' ἄγῃ:-

οἱ δὲ θεοὶ πὰρ ζηνί· ἐν ἀφροσύνοις μὲν πρὸς ἀλλήλους φόβον ἀθετοῦνται στίχοι κβ. ἡ διπλῆ περιεστιγμένη ὅτι τῇ χείονι λέξει πρὸ τῆς τειχομαχίας ὧν μὴ προφῆναι καὶ ἐνταῦθα:-

ἤ ῥά τίς ἐστι βροτῶν: ἆρα εἴ φησι τίς τῶν μάρνων κοινώσηται δι' αὐτοῦ θεοῖσι ἃ βούλεται τοῖς θεοῖς:-

ὅς τις ἔτ' ἀθανάτοισι: ὅτι ὥσπερ καὶ αὐτὸς οὐκ ὢν ἀθάνατος ἀλλ' ὅμως ἐν ἄλλοις δὲ κέχρηται τῷ γένει:-

τὸ τ' ἐγὼ καὶ φοῖβος· χωρὶς τοῦ τε ἐν ταῖς ἀριστάρχου τὸ ἐγὼ καὶ φοῖβος· κατ' ἔνια δὲ τῶν ὑπομνημάτων τὸ ἐγὼ· καθόλου δὲ τὴν τῶν θεῶν φορὰν ἴσασιν οἱ περὶ ζηνόδοτον καὶ ἀριστοφάνη καὶ αὐτὸς ἀρίσταρχος:-

ἀρίσταρχος ἄλλοι ὅσον· ὅσον ἀρίσταρχος τό ἐγὼ:-

ὅσον τ' ἐπικίδναται ἠώς· οὕτως ἀρίσταρχος. ὅσον τ' ἐπικίδναται θηλυκῶς· ζηνόδοτος δὲ ἴσον τ' ἐπικίδναται:-

ἄλλος κέν τις τοῦτο θεῶν, δείσειε νόημα·
ὃς σέο πολλὸν ἀφαυρότερος χεῖράς τε μένος τε:
σὸν δ' ἤτοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται ἠώς·
ἄγρει μάν· ὅτ' ἂν αὖτε κάρη κομόωντες ἀχαιοὶ
οἴχονται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν·
τεῖχος ἀναρρήξας· τὸ μὲν εἰς ἅλα πᾶν καταχεῦαι·
αὖτις δ' ἠϊόνα μεγάλην ψαμάθοισι καλύψαι·
ὥς κέν τοι μέγα τεῖχος ἀμαλδύνηται ἀχαιῶν·
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
δύσετο δ' ἠέλιος τετέλεστο δὲ ἔργον ἀχαιῶν·
βουφόνεον δὲ κατὰ κλισίας· καὶ δόρπον ἕλοντο·
νῆες δ' ἐκ λήμνοιο παρέστασαν οἶνον ἄγουσαι
πολλαί· τὰς προέηκεν ἰησονίδης εὔνηος·
τὸν ῥ' ἔτεχ' ὑψιπύλη ὑπ' ἰήσονι ποιμένι λαῶν·
χωρὶς δ' ἀτρείδῃς ἀγαμέμνονι καὶ μενελάῳ
δῶκεν ἰησονίδης ἀγέμεν μέθυ, χίλια μέτρα·
ἔνθεν ἄρ' οἰνίζοντο κάρη κομόωντες ἀχαιοί·
ἄλλοι μὲν χαλκῷ· ἄλλοι δ' αἴθωνι σιδήρῳ·
ἄλλοι δὲ ῥινοῖς· ἄλλοι δ' αὐτῇσι βόεσσιν·
ἄλλοι δ' ἀνδραπόδεσσι· τίθεντο δὲ δαῖτα θάλειαν·
παννύχιοι μὲν ἔπειτα κάρη κομόωντες ἀχαιοὶ
δαίνυντο· τρῶες δὲ κατὰ πτόλιν ἠδ' ἐπίκουροι·
παννύχιος δέ σφιν κακὰ μήδετο μητίετα ζεὺς
σμερδαλέα κτυπέων· τοὺς δὲ χλωρὸν δέος ᾕρει·
οἶνον δ' ἐκ δεπάων χαμάδις χέον· οὐδέ τις ἔτλη

σημειοῦνται τινὲς [illegible]

ἀριστάρχου [illegible]

βουφόνεον δέ: κουφονεῖν ἐστιν [illegible] θεοῖς· αὐτὸ πον γὰρ ἐστι θυσιασθέν ... λέγειν. ἀλλ' αὐτὸ φονεύειν ... εἰς δεῖπνον κατασκευήν

νῆες δ' ἐκ λήμνοιο παρέστασαν· ... λήμνιοι τὰς ἐπὶ θοαντος ... τῆς θυσίας μὴ ἀποδιδόντες καθ' αὐτῶν θάνατον ... τὴν γὰρ θεὸν ὀργισθεῖσαν λέγεται τοῖς μὲν ἀνδράσιν ἐμβαλεῖν ... τῶν θρακίων ... γυναικῶν ... [illegible] ... καὶ σημαινόμενοι ... ταῖς δὲ γυναιξὶ τῶν λημνίων ... πάσας ἄνδρας κτείνειν. καὶ μὴ ... ταύτης ... τοῦ ... [illegible] ... μένοις:-

ἄλλοι μὲν χαλκῷ: ὅτι ἀμοιβαῖς ἐχρῶντο οἱ παλαιοὶ, οὐ νομίσμασιν:- ἄλλοι δὲ ῥινοῖς: δέρμασι τοῖς ... [illegible] ... προφέροντες:- ἄλλοι δ' ἀνδραπόδεσσι. ἀθετεῖται ... ὀνομασία τοῦ ἀνδραπόδου ... [illegible]:-